# 01 IULIE

# PARACLISUL SF.DOCTORI-MUCENICI COSMA SI DAMIAN DE LA ROMA

## PARACLISIER-GR


Ο ΑΓ
ΚΟCΜΑC
Ο ΑΓ
ΔΑΜΙΑΝΟC
ΟΙ ΑΝΑΡΓΥΡΟΙ

# Παρακλητικός Κανών Ἁγίων ΑΝΑΡΓΥΡΩΝ ΤΩΝ ΡΩΜΑΙΩΝ

## Ἀντ. Μάρκου (2014)

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ' (142) Ψαλμός και το Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ.

Εἶτα τά Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

**Τ**ῶν Ἀναργύρων τῇ πανσέπτῳ δυάδι,* τῇ ἀπό Ῥώμης, οἱ πιστοί δεῦτε πόθῳ* προσπέσωμεν, αἰτούμενοι πρεσβείας αὐτῶν,* τῶν ψυχῶν ἀντίληψιν καί σωμάτων τήν ῥῶσιν,* βίου τε διόρθωσιν, τῇ αὐτῶν βοηθείᾳ·* καί εὐγνωμόνως εἴπωμεν αὐτοῖς,* χαίρετε θεῖοι* Κυρίου Ἀνάργυροι.

Δόξα. Τό αὐτό.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ'. Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε.

**Τ**ῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων,* πάσης περιστάσεως* καί τῆς δαιμόνων μανίας·* Σύ γάρ ὑπάρχεις Μήτηρ τοῦ

Θεοῦ* καί τῶν Σῶν τέκνων* προστάτης καί πρόμαχος.

Ψαλμός Ν’ (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν πάσῃ εὐλαβείᾳ, τόν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχίς: ΑΝΑΡΓΥΡΩΝ ΤΩΝ ΘΕΙΩΝ ΥΜΝΩ ΤΗΝ ΔΟΞΑΝ. ΑΝΤ(ωνίου).

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ἀ**νάργυροι ἔνδοξοι,* θεῖα τῆς Ῥώμης βλαστήματα,* ἐμοί κατα-πέμψατε ἀκτῖνα θείου φωτός,* ὅπως ὑμνήσω Ὑμῶν* τά θεῖα μεγαλεῖα·* Κοσμᾶ ἀξιάγαστε,* Δαμιανέ πανυπέρτιμε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ν**αόν Ὑμῖν ἤγειρεν* ἐν Ῥώμῃ, ἄναξ Θευδέριχος,* στεγᾶσαι τά Λείψανα Ὑμῶν τά τίμια·* οἷς προσπίπτομεν* ἐν πάσῃ εὐλαβείᾳ,* αἰτού-μενοι ἴασιν,* ψυχῶν ἡμῶν καί σωμάτων τε.

Δόξα.

**Ἀ**φθόνως παρέχετε* τοῖς αἰτουμένοις τά δέοντα,* ψυχῶν θερα-πεύοντες καί τῶν σωμάτων πληγάς·* διό αἰτούμεθα* Πνεύματος Παρα-κλήτου,* τήν θείαν ἐνέργειαν* ἡμῖν δωρήσασθε.

Καί νῦν. Θεοτοκίον.

**Ῥ**ῶσιν ἡμῖν δεδώρησαι* τοῖς τρυχομένοις τοῦ σώματος* τοῖς πόνοις, ὁμοίως τε πολυωδύνου

ψυχῆς,* τοῖς προστρέχουσι* Σῇ σκέπῃ Θεοτόκε, ὁμοῦ Ἀναργύροις τε,* τοῖς ἐν τῇ Ῥώμῃ ἀθλήσασι.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Γ**ύρωθεν ἐμβλέψατε οἱ Ῥώμης* Ἀνάργυροι θεῖοι καί σεπτοί* καί τήν ἡμῶν ἀσθένειαν* ἐλαίῳ θεραπεύσατε,* τῷ τῆς τιμίας λάρνακος,* ἐν ᾗ Σά Λείψανα ἀπόκεινται.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ὑ**μᾶς, ὦ Ἀνάργυροι τῆς Ῥώμης,* ἀνέξειξεν Κύριος ἡμῶν* ὑγείας τούς θεράποντας* καί εὐρωστίας φύλακας·* διό Ὑμῖν νῦν προστρέχο-ντες* αἰτούμεθα ἐπισκέψεως.

Δόξα.

**Ῥ**υσθέντες ἀπό ἀσθενείας,* προσφέρομεν Σοί Δαμιανέ,* ὁμοῦ Κοσμᾶ τήν αἴνεσιν,* ᾠδήν τ' εὐχαριστήριον,* τοῖς Σοῖς Λειψάνοις προσπίπτοντες,* ἅ τῷ Ναῷ ἡμῶν πρόκεινται.

Καί νῦν. Θεοτοκίον.

**Ὡ**ραῖος κάλει ὁ Υἱός Σου,* ἐν πᾶσιν ἀνθρώποις, Ἀγαθή,* ἐφάνη· Ὅς δεδώρηται* τοῖς Ἀναργύροις δύναμιν,* τάς ἀσθενείας ἰάσασθαι* τάς τῶν ἀνθρώπων, Πανύμνητε.

Ἦχος δ’.

**Δ**ιάσωσον,* τούς Σοί προσπίπτοντας δυάς τῶν Ἀναργύρων,* Ναῷ Σου γάρ τῷ εὐκλεεῖ,* ἐπισκιάζει ἡ ἰωμένη ἡμᾶς χάρις.

**Ἐ**πίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι* τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

**Λ**ειψάνοις τοῖς Σοῖς* Ἀνάργυροι προσπίπτομεν,* ἐκεῖθεν ἀεί* πηγάζετε τά νάματα,* δι’ ὧν ἴᾶσθαι ἡμῶν* πάθη καί τραύματα, ἐπομβρίζοντες* ἀπό Κυρίου τοῦ Θεοῦ* ἡμῖν τάς ἰάσεις, ὡς φιλάνθρωποι.

ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ν**αῷ Κοσμᾶ τῷ παντίμῳ Σου,* τούς πίστει προσφεύγοντας ἀπάλ-λαξον* δεινῆς κακώσεως,* ὁμοῦ αὐταδέλφῳ Δαμιανῷ,* μή διαλείπετε σπεύδοντες* τούς ἀσθενοῦντας ἰάσασθαι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Τ**ούς ἐν ἀσθενείᾳ ψυχῆς πολλῇ,* ἐκ τῆς ἁμαρτίας ἐπισυμβάσης καί κάμνοντας,* ἐλέει θείῳ,* Ἀνάργυροι φιλάνθρωποι, ἀγάπῃ ἐλεήσατε,* δόξα Κυρίῳ κραυγάζοντες.

Δόξα.

**Ὢ** τῶν Σῶν θαυμάτων πῶς τήν πληθύν,* ἐξυμνῆσαι ἀξίως δυνηθῶμεν οἱ ἀτελεῖς,* αὐτάδελφοι

Ἀνάργυροι;* τῷ Χριστῷ οὖν ἐκ ψυχῆς* προσπίπτοντες κραυγάζομεν,* δόξα τῇ δυνάμει Σου Κύριε.

Καί νῦν. Θεοτοκίον.

**N**αός ἡμῶν ὑπάρχει ἀέναος πηγή,* ὅν ἐν τῇ Ῥώμῃ Ὑμῖν ἀσμένως ὕψωσεν,* Θευδέριχος ἄναξ,* τοῦ εἶναι ἰατρεῖον τῶν ψυχῆς* παθῶν καί τοῦ σώματος,* τῇ μεσιτείᾳ Θεόπαιδος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Θ**εράπευσον τραύματα,* τά τῆς ψυχῆς καί τοῦ σώματος*, δυάς αὐταδέλφων Ἀναργύρων·* σπεύσατε ἀγάπῃ, ἐπικάμψατε Θεόν,* πρεσ-βείαις πρός Αὐτόν καί Σαῖς λιταῖς,* πάντας ἡμᾶς ῥύσασθαι* ἀπό παθῶν, Θεοτίμητοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ε**ὐσυμπάθητοι Ἅγιοι,* τοῖς δεομένοις ὀμβρίσατε* Πνεύματος Ἁγίου θείαν χάριν,* ἵν’ ἀσθενῶν καί παρειμένων οἱ χοροί,* αἰνοῦντες τόν Φιλάνθρωπον, χαρᾷ* Ὑμᾶς μακαρίζουσι,* ὦ Ῥωμαῖοι Ἀνάργυροι.

Δόξα.

**Ἴ**δετε τήν κάκωσιν* ἥ κατατρύχει ἡμᾶς ἅπαντας,* τούς τῷ Σῷ τεμένει προσιόντας,* πρός ὅ προστρέχουσι πλήθη τῶν πιστῶν,* Ὑμᾶς ἐπευλογοῦντας, Ἀγαθοί,* ὡς πηγήν τήν ἔμπλεον* θείου ἐλέους καί χάριτος.

Καὶ νῦν. Θεοτοκίον.

**Ὠ**ραῖον Ὑμῖν ἐδείματο,* Γότθων ἄναξ Θευδέριχος,* ναόν τοῖς Ἀναργύροις αὐταδέλφοις,* ἐν ᾧ προστρέχουσι πλήθη τῶν πιστῶν,* ζητοῦντες ἀνευρεῖν ἐκεῖ πηγήν,* ἄλλην Ζωοδόχον τε,* τήν κενουμένην οὐδέποτε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ν**αός Ὑμῶν ἀναδέδεικται* σωμάτων ἰατρεῖον, Ἀνάργυροι, Ῥωμαῖοι ἀξιάγαστοι·* ἐν ᾧ προστρέχομεν χαίροντες* καί εὐλογοῦμεν γεραίροντες.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ὑ**μνεῖν πιστοί οὐ παυόμεθα,* Ὑμᾶς τούς ἀναργύρως προστρέχοντας* ἐπί τοῖς χρήζουσι,* πρός οὕς ἐκχέετε ἴασιν,* ὄντες πηγή χαρίτων καὶ ἀγαθότητος.

Δόξα. Θεοτοκίον.

**Μ**αρία, χαῖρε Πανάχραντε,* πηγή τῆς οὐρανίου χριστότητος,* πιστῶν ἐντρύφημα,* Θεραπευτῶν ἐγκαλλώπισμα*, μεθ’ ὧν ἀεί πρεσβεύεις πρός Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

**Ν**ικῆσαι θέλων, Δέσποινα,* παθῶν τήν τυραννίδα ὁ δοῦλος Σου,* τῇ βοηθείᾳ Σου,* Σοί τῇ Μητρί τοῦ Παντάνακτος,* τῇ πάντα δυναμένῃ πάλιν προσέρχομαι.

Ἦχος δ'.

**Δ**ιάσωσον,* τούς Σοί προσπίπτοντας δυάς τῶν Ἀναργύρων,* Ναῷ Σου γάρ τῷ εὐκλεεῖ,* ἐπισκιάζει ἡ σώζουσα Ὑμῶν χάρις.

Ἄχραντε,* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως,* ἐπ'ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων Σου.

**Ἐ**ν Ἐλευσίνι ταπεινοῦ ἐνυπάρχοντος* Ὑμῶν Ναοῦ, τάς ἰάσεις παρέχετε·* διό θεοφόροι αὐτάδελφοι,* Κοσμᾶ καί Δαμιανέ θεοδό-αστοι,* Ὑμᾶς οἱ πιστοί μακαρίζομεν.

Προκείμενον. Ἦχος δ'. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ι' 1, 5-8).

**Τ**ῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα. Ἦχος β’.

**Τ**αῖς τῶν Ἀναργύρων πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.

**Τ**αῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Στ. *Ἐλέησόν με ὁ Θεός* κατά τό μέγα ἔλεός Σου* καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου,* ἐξάλειψον τό ἀνόμημά μου.*

Προσόμοιον. Μητροπ. Ῥόδου Κυρίλλου. Ἦχος πλ. β’. Ὅλην ἀποθέμενοι.

**Ὅ**λην παρωσάμενοι,* τὴν ἐν τῷ κόσμῳ ἀπάτην,* τοῦ Χριστοῦ τοῖς ἴχνεσιν,* κατηκολουθήσατε, ὡς ἐχέφρονες,* καὶ ἀνεδείχθητε, τῆς φιλευσπλαγχίας,* ποταμοὶ ὑπερεκβλύζοντες,* ἀχρύσως νείμαντες,* τοῖς ἐν ἀσθενείαις ἰάματα,* καὶ πᾶσιν ἐπαρκέσαντες,* τοῖς ἐν ἀλγειναῖς περιστάσεσιν.* Ὅθεν δοξασθέντες,* Ἀνάργυροι ἀξίως καὶ ἡμῖν,* Θεοῦ αἰτεῖσθε τὸ ἔλεος,* παῤῥησίᾳ πάντοτε.

Καί ἀποπληροῦμεν τάς λοιπάς ᾠδάς τοῦ Κανόνος·

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Ὢ** τῆς θερμότητος* ἀγάπης ἐνθέου τε,* θεῖοι Ἀνάργυροι,* Χριστοῦ τοῦ Ἐλεήμονος* δι'ὧν ἡμᾶς φυλάττετε·* ὅθεν βοῶμεν Αὐτῷ·* Ὑπερύμνητε,* ὁ τῶν Πατέρων Κύριος* καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Τ**ούς ἰάσεως* παθῶν τῶν τοῦ σώματος* χρήζοντας, Ἅγιοι,* προφθάνετε, Ἀνάργυροι·* τά πάντα γάρ καί δύνασθε* οἷαπερ φίλοι Χριστοῦ,* Ὅν Ὑπερύμνητον* τῶν Πατέρων Κύριον καί Θεόν ὁμολογοῦμεν.

Δόξα.

**Ἡ**μεῖς ἅπαντες,* Ὑμᾶς καθικετεύομεν*, τούς ἀναργύρως ἡμῖν* ἰάσεις νῦν προχέοντας,* καί χαίροντες σπεύδομεν ὁμολογῆσαι Χριστόν* Ὑπερύμνητον,* τῶν Πατέρων Κύριον* καί Θεόν, Ὅν εὐλογοῦμεν.

Καί νῦν. Θεοτοκίον.

**Ν**αῷ ἅπαντες,* Ὀρθόδοξοι σπεύσωμεν* τῷ Ἀναργύρων σεπτῷ,* ἐν Ἐλευσῖνι ὑπάρχοντι,* καί ἐν αὐτῷ βοήσωμεν τοῖς θαυμαστοῖς ἰατροῖς,* ἀξιάγαστοι,* σύν τῇ Μητρί τοῦ Κτίσαντος,* ἱκετεύσατε συντόνως.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Δ**ότε, Ἀνάργυροι Κυρίου,* ἐκ πόνων ἀνάπαυσιν, τῶν τυραννούντων ἡμᾶς,* τήν θλίψιν ἐκδιώξατε* τῶν τήν Ὑμῶν ἀντίληψιν* ἐπιζητούντων· σπεύσατε τοῦ ἐλεῆσαι ἡμᾶς·* τοῦ Κυρίου, ἵνα ὑμνῶμεν τά ἔργα* καί ὑπερυψῶμεν* εἰς πάντας τούς αἰῶνας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ὁ**ρμάς τάς τοῦ σώματος ἀτάκτους* Ὑμεῖς κατελέγξατε, τῷ ἀρετῆς χαλινῷ,* καί πρός ἁγιότητος* ὁδούς ἡμᾶς ἰθύνατε* τούς δεομένους· σπεύσατε τοῦ ἐλεῆσαι ἡμᾶς·* τοῦ Κυρίου, ἵνα ὑμνῶμεν τά ἔργα* καί ὑπερυψῶμεν* εἰς πάντας τούς αἰῶνας.

Δόξα.

**Ξ**ένισον φωτί τῷ ἀνεσπέρῳ,* ψυχάς τῶν ὑμνούντων Σου τήν θείαν ἄθλησιν,* Δαμιανὲ ὑπέρτιμε,* ὁμοῦ Κοσμᾶ θεόφρονι,* δι’ ἧς ἐδοξάσατε Χριστόν Φιλάνθρωπον·* τόν Κύριον, Οὗ ὑμνοῦμεν τά ἔργα* καί ὑπερυψοῦμεν* εἰς πάντας τούς αἰῶνας.

Καί νῦν. Θεοτοκίον.

**Ἄ**κουσον Σῆς ποίμνης τῆς ὑμνούσης,* Παρθένε Πανάμωμε τάς δυναστείας Σου,* ἅς ἡμῖν πεποίηκας,* ἀπ’ἀρχῆς ἄχρι τοῦ νῦν·* Υἱῷ δ’ ἐκβοώντων Σου μετά χαρᾶς ἐν φωνῇ,* τοῦ Κυρίου ὑμνοῦμεν τά ἔργα* καί ὑπερυψοῦμεν* εἰς πάντας τούς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ν**εῦσον πρός ἡμᾶς* τούς Σέ μόνον ἔχοντας παρηγορίαν, Χριστέ·* ταῖς τῶν Ἀναργύρων Σου* σεπταῖς δεήσεσι, ἵνα τύχωμεν* ἐλέους ἐν Κρίσεως ἡμέρᾳ τῇ φοβερᾷ* καί βοῶμεν Σοι,* εἰκών ὑπάρχεις ἀπαράλλακτος* τοῦ Πατρός ἡ ἐνυπόστατος.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.

**Ἄ**κουσον ἡμῶν* τήν δέησιν, Δέσποτα, τῶν δεομένων Σου* καί ἡμᾶς ἀπάλλαξον* τῆς αἰωνίου δεινῆς κολάσεως,* λιταῖς ἐνθέρμοις τῶν Ἀναργύρων Σου·* ἵνα βοῶμεν Σοι,* χαίροις ἡμῶν ὁ Κύριος,* ὁ δωρήσας ἡμῖν τούτους.

Δόξα.

**Ν**εύσατε ἡμῖν,* Ἀνάργυροι ἔνδοξοι, Ῥώμης οἱ ἔνθεοι,* πρεσβείᾳ τοῖς ἐλπίζουσι* Ὑμῶν θερμῇ πρός Κύριον,*Δαμιανέ καί Κοσμᾶ θεόφρονες·* ἵνα βοῶμεν ἀσμένως πάντοτε,* χαίρετε θεῖοι αὐτάδελφοι,* οἱ ἀναργύρως ἰώμενοι.

Καί νῦν. Θεοτοκίον.

**Τ**είχισον ἡμᾶς* ταῖς θείαις πρεσβείαις Σου, Μῆτερ Ἀπείρανδρε,* τούς ὁμολογοῦντάς Σε* Ἁγνήν Μητέρα Θεοῦ Παντάνακτος,* ὁμοῦ μητέρα γένους Χριστιανῶν,* ἵνα βοῶμεν Σοι,* χαίροις ἡμῶν Βασίλισσα* καί ψυχῶν Παραμυθία.

Καί εὐθύς, τοῦ Ἱερέως θυμιῶντος τό Ἱερόν Θυσιαστήριον καί τόν εὐσεβῆ λαόν, ψάλλονται τά παρόντα Μεγαλυνάρια·

**Ἄ**ξιον ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,* τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

**Χ**αίροις Ἀναργύρων ἡ εἰκοσάς,* ἐν ᾗ διαλάμπει* θεοφρόνων τῶν ἰατρῶν,* Κοσμᾶ τε τοῦ θείου,* Δαμιανοῦ τοῦ πάνυ,* δυάς ἡ τῶν Ῥωμαίων,* ἡμᾶς ἰωμένη.

**Χ**αίροις Ἀναργύρων σεπτή δυάς,* Κοσμᾶ ἐλεῆμον,* ὁμοῦ τῷ θείῳ Δαμιανῷ,* οἱ ἡμῶν προστάται* ζωῆς καί εὐεργέται,* ψυχῶν τε καί σωμάτων οἱ προϊστάμενοι.

**Χ**αίροις, θεραπόντων ἡ ξυνωρίς,* οἱ ἀπό Κυρίου* Ἐλεήμονος καί Θεοῦ,* δῶρον θεραπείας ἡμῶν ἐλεηθέντες,* δι’οὗ καί ἐλεῆτε ἡμᾶς τούς πάσχοντας.

**Κ**υρίας Θεοτόκου τούς ὑμνητάς,* Χριστοῦ τοῦ Σωτῆρος* ἐν ἐλέει τούς μιμητάς,* τούς τῶν Ἀναργύρων ἐξάρχους, τούς τῆς Ῥώμης* Κοσμᾶν Δαμιανόν τε,* πόθῳ τιμήσωμεν.

**Τ**ούς ἐν Ῥώμῃ ἀθλήσαντας, τούς κλεινούς* Ἀναργύρους πάντες* εὐφημήσωμεν οἱ πιστοί,* τούς

τοῖς δεομένοις προχέοντας ἀφθόνως,* Πνεύματος Παρακλήτου* τήν θείαν δύναμιν.

**Θ**ύματα ἀγάπης πρός τόν Θεόν* καί πρός τόν πλησίον* ἀνεδείχθη-ε ἱερά,* πάντας ἐλεοῦντας ἐλέει τῆς ὑγείας,* ψυχῶν τε θεραπείας,* ὁμοῦ καί σώματος.

**Τ**ούς τῷ Μυστηρίῳ τῇ τοῦ Χριστοῦ* καί Σταυροῦ δυνάμει* καταργήσαντας τῶν ἐθνῶν,* ἐν τῇ Ἐλευσῖνι* λατρεία Μυστηρίων,* Θεοῦ τῇ ἀληθείᾳ,* ὕμνοις τιμήσωμεν.

**Π**άντας τούς προσφεύγοντας τῷ Ναῷ* ἡμῶν, θεοφόροι,* Κοσμᾶ τε θεῖε Δαμιανέ,* τῷ ἐν Ἐλευσῖνι κειμένῳ, πάσης βλάβης* ἐχθροῦ τε ἐπιρροίας* διαφυλάξατε.

**Κ**ατέχομεν, θεῖοι, ὡς θησαυρόν* τῷ Ὑμῶν τεμένει,* Σῶν Λειψάνων τήν χαρμονήν* καί τήν εὐλογίαν Σταυροῦ τε τοῦ Τιμίου*, δι'ὧν καί ἐλεῆτε ἡμᾶς, Ἀνάργυροι.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς,* Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

**Κ**ύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς* ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν* καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

**Τ**ῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα καί τά ἱερά Λείψανα τῶν Ἁγίων καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

**Δ**έχου ἱκεσίας τῶν πιστῶς* καί γονυκλινῶς προσφευγόντων* τῇ θείᾳ σκέπῃ Ὑμῶν,* δυάς πανυπέρτιμε, τῶν Ἀναργύρων σεπτή·* τῶν παθῶν δέ κατάργησον* τό ἄλγος, ψυχῆς τε* πόνους τούς τοῦ σώματος,* ἐπιστασίᾳ Ὑμῶν·* ἐστέ γάρ Ὀρθοδόξων

προστάται* καί πιστῶν ἁπάντων, ὡς θεῖοι* μιμηταί Χριστοῦ τοῦ Ἐλεήμονος.

Ἦχος πλ. δ'.

**Δ**έσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β'.

**Τ**ήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Ἀπολυτίκιον τῶν Ἁγίων Ἀναργύρων κοινόν. Ἦχος πλ. δ'.

**Ἅ**γιοι Ἀνάργυροι καί θαυματουργοί,* ἐπισκέψασθε τάς ἀσθενείας ἡμῶν,* δωρεάν ἐλάβετε,* δωρεάν δότε ἡμῖν.

Ἀπολυτίκιον Ἁγίων Ἀναργύρων Κοσμᾶ καί Δαμιανοῦ τῶν Ρωμαίων. Ποίημα Ἰωσήφ τοῦ ἐκ Φουρνᾶ. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

**Ἀ**νάργυροι Κυρίου, οἰκουμένης τό κλέος,* Ἐκκλησίας ἀγλάϊσμα καί πιστῶν τό διάσωσμα·* ἐκ Ῥώμης ἐξέλαμψεν ἡμῖν,* ὡς ἥλιος ἐκ τῶν ἀνατολῶν,* ἡ Ὑμῶν πάμφωτος μνήμη καί ἱερά* καί εὐφροσύνης ἔπλησε τούς μέλποντας·*δόξα τῷ Βασιλεῖ ἡμῶν Θεῷ,* δόξα τῷ Ὑμᾶς δοξάσαντι,* δόξα τῷ ἐνεργοῦντι δι' Ὑμῶν,* πᾶσιν ἰάματα.

Ἕτερον. Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου. Ἦχος δ’. Ταχὺ προκατάλαβε.

**Ὡ**ς θεῖοι θεράποντες καὶ ἰατῆρες βροτῶν,* ἀνάργυρον βλύζετε τήν θεραπείαν ἡμῖν,* Ἀνάργυροι ἔνδοξοι·* ὅθεν τούς προσιόντας,* τῇ σεπτῇ Ὑμῶν σκέπῃ,* ῥύσασθε νοσημάτων* καὶ παθῶν ἀνιάτων·* Κοσμᾶ καὶ Δαμιανὲ,* Ῥώμης βλαστήματα.

Στίχοι·

*Ἐλέει Ἐλεήμονος ἐλεηθέντες τοῦ ἐλεεῖν,*
*ἐλαίῳ τῆς λάρνακος Ὑμῶν,*
*ἐλεήσατε θεῖοι Ἀνάργυροι Χριστοῦ,*
*τούς ἔλεος αἰτοῦντας, ἐλέους ἐπ’ ἐλπίδι.*